A

## ΣΤΡΟΦΗ κώλων ς΄.

Χο. Ταῦτ᾽ ἐρωτᾷς; ἀναί-
σχυντος εἶ καὶ βδελυρός,
Ὦ προδότα τῆς πατρίδος,
Ὅστις ἡμῶν μόνος
Σπεισάμενος, εἶτα δύνα-
σαι πρὸς ἔμ᾽ ἀποβλέπειν.
Δι. Ἀνθ᾽ ὧν δ᾽ ἐσπεισάμην, οὐκ ἴστε γ᾽, ἀλλ᾽ ἀκού-
σατε.

## STROPHE.

CH. Quid rogas? impudens
Es, proteruus, scelestus,
Proditor agri patrij:
B Quippe soli tibi
Fœdera modò hîc inita: an
Aspicere adhuc potes?
DI. At quamobrem fecerim nescitis: audite hoc
prius.

---

## ΣΤΡΟΦΗ ἑτέρα κώλων η΄.

Χο. Σοῦ γ᾽ ἀκούσωμεν; ἀπολεῖ.
Κατά σε χώσομεν τοῖς λίθοις
Δι. Μηδαμῶς, πρὶν ἄν ἀκούσητέ γ᾽, ἀλλ᾽ ἀνά-
σχεσθ᾽ ὦ γαθοί.
Χο. Οὐκ ἀνασχήσομαι,
Μηδὲ λέγε δή σὺ λόγον,
Ὡς μεμίσηκά σε Κλέ-
ωνος ἔτι μᾶλλον, ὃν ἐ-
γὼ κατατεμῶ τοῖσιν ἱππεῦσι ποτε
Ες καττύματα.
Σοῦ δ᾽ ἐγὼ λόγους λέγοντος οὐκ ἀκούσομαι
μακρούς,
Ὅστις ἐσπείσω Λάκωσιν, ἀλλὰ τιμωρήσομαι.
Δικ. Ὦ γαθοί, τοὺς μὲν Λάκωνας ἐκποδὼν ἐά-
σατε,
Τῶν δ᾽ ἐμῶν σπονδῶν, ἀκούσατ᾽ εἰ καλῶς ἐσπει-
σάμην.
Χο. Πῶς δέ γ᾽ ἂν καλῶς λέγοις ἄν, εἴπερ ἐσπεί-
σω γ᾽ ἅπαξ.
Οἷσιν οὔτε βωμὸς, οὔτε πίστις, οὔθ᾽ ὅρκος μένει.
Δι. Οἶδ᾽ ἐγὼ καὶ τοὺς Λάκωνας οἷς ἄγαν ἐγκεί-
μεθα,

## STROPHE alia.

C CH. Te audiam? malè pereas:
Lapidibus petemus caput.
DI. Neutiquam, nisi me prius audiatis æquis
mentibus.
CH. Non feram: non sinam;
Verba facias, caue. Nam
Haud pare Cleonem odio
Oderim ego: quem dabo secandum equitum
D Gregi in soleas.
Te non audiam;
Præsertim si prolixa verba des.
Quoniam fœdus inisti cum Laconibus: at te pu-
niam.
DI. O boni, Laconas missos iam facite: & mea
fœdera
Quæso audite, qualia sint: an illa rectè iniuerim.
CH. Quomodo rectè te dicas inisse, si inieris se-
mel
E Cum his, quibus nec religio, nec iusiurandum
est, nec fides?
DI. Noui ego, quòd Lacones, quibus hîc admo-
dum infesti sumus,

Σχόλια. Χώσομεν τοῖς λίθοις.] τοιοῦτο καὶ τὸ Ὁμηρικόν. λαΐνον ἕσσο χιτῶνα. ἐν ἤθει γὰρ αὐτὸ μεταπεποίησεν. Ἀλέξανδρος μὲν οὖν, ἄξιος τῶν λίθων Λακεδαιμονίας ἐρασθεὶς γυναικὸς ἐπὶ συμφορᾷ τῆς πατρίδος. οὗτος δὲ εἰρήνης ἐρᾷ ἐπ᾽ ἀγαθῷ τῆς πατρίδος.

F BISETUS. Κατά σε χώσομεν] τμῆσις, ἀντὶ τοῦ καταχώσομέν σε. καταχῶσαι δὲ λίθοις ἐστὶν, ὅπερ ὁ Εὐριπίδης λέγει, καταφονεύειν πέτροις. ὁ δὲ τοῦτο πάσχων, ὑπ᾽ αὐτοῦ λέγεται, λευσίμῳ πετρώματι θανεῖν. καὶ πετρούμενος θανεῖν, καὶ λευσθῆναι πέτροις.

Σχόλια. Μηδαμῶς πρίν γ᾽ ἀκούσητε.] μεγαλοφρόνως καὶ γενναίως οὐ παραιτεῖται τὸν θάνατον. ἀλλὰ πρῶτον εἰπεῖν ἀξιοῖ καὶ τότε ἀποθανεῖν ἐὰν ᾖ δίκαιον. Οὐκ ἀνασχήσομαι.] ὅτι τινὲς τὸ ἀνασχήσομαι, ὡς ἔκφυλον νομίζουσιν. ἐχρήσατο δὲ αὐτῷ Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. οὐ δὴ οὖν μόνον ἀνέξομαι. G Ὃν ἐγὼ κατατεμῶ.] ἐνταῦθα πάλιν παραιτεύει τὸ ποτὲ διὰ τὴν μετροποιΐαν καὶ ἔτι πρὸς τὴν ἐξήγησιν, οὐ ποτὲ τέμνειν τὸν Κλέωνα Ἀριστοφάνης. ἀλλ᾽ ἀεί. ὡς οὖν ἄνω τὸ νῦν παρεισεδύετο, οὕτως ἐνταῦθα τὸ ποτέ. ἔστι γὰρ τοῦ αὐτοῦ μέτρου τὸ κῶλον. καττύματα δέ ἐστι δέρματά τινα ἰσχυρὰ καὶ σκληρὰ, ἅπερ τοῖς σανδαλίοις καὶ τοῖς ἄλλοις ὑποδήμασιν ὑποβάλλεται. οἰκεία δὲ ἡ ἀπειλὴ κατὰ τοῦ Κλέωνος. βυρσοδέψης γὰρ οὗτος. ὅτι δὲ τοῖς ἱππεῦσιν ἦν τις ἔχθρα πρὸς Κλέωνα, διὰ τῆς ἀρχῆς δεδήλωκε. καὶ φιλῶ τοὺς ἱππέας διὰ τοῦτο τοὔργον. Σοῦ δ᾽ ἐγὼ λόγους λέγοντος.] ἐπεται τῇ δυάδι δίστιχον, ὃ τοῖς μέλεσιν ἐξ εὐθὺς ὑπάγουσιν. ὅπερ ἐστὶ τετράμετρον τροχαϊκὸν καταληκτικόν. οὐ λέγουσι δὲ ὅτι τοὺς μὲν μακροὺς οὐ προήσομαι. ἀκούσομαι δὲ τοὺς διὰ συντομίας λεγομένους. ἀλλ᾽ ὅτι πάντες οἱ λόγοι μακροὶ πεφύκασι κεινόμενοι πρὸς πρᾶξιν εἰ πέπρακται. Τῶν δ᾽ ἐμῶν σπονδῶν] λείπει ἡ περί. οὐ βούλεται γὰρ αὐτοὺς τῶν Λακεδαιμονίων μνημονεύειν, διὰ τὸ ἐνθυμουμένους τὰ ὑπ᾽ αὐτῶν γεγενημένα καθίστασθαι. Οὔτε πίστις, οὔθ᾽ ὅρκος.] ἐπὶ ἀπιστίᾳ γὰρ διεβάλλοντο οἱ Λακεδαιμόνιοι. καὶ Εὐριπίδης ἐν Ἀνδρομάχῃ. Σπάρτης ἔνοικοι δόλια βουλευτήρια. τρία δὲ ἐγκλήματα παραβασίας προσέθηκεν αὐτοῖς. αἱ γὰρ συνθῆκαι διὰ τριῶν τελοῦνται. λόγων. ἔργων. χειρῶν. λόγων μὲν, οἷον διὰ ὅρκων. ἔργων δὲ, διὰ τῶν ἐν βωμοῖς θυσιῶν. χειρῶν δὲ, ἐπειδὴ αἱ πίστεις διὰ τῶν δεξιῶν γίνονται. καὶ Ὅμηρος. δεξιαὶ ᾗς ἐπέπιθμεν. Οἶδ᾽ ἐγὼ καὶ τοὺς Λάκωνας.] πάνυ δεινῶς καὶ τεθαῤῥηκότως ἐχρήσατο τῇ ἐπαναλήψει καὶ οὐ κατέπληξεν, οὐδὲ ηὐλαβήθη ἐν τοσούτοις ὑπὲρ τῶν ἐχθρῶν εἰπὼν ὅτι οὐ μόνον οὐκ ἠδίκησαν κατὰ πάντα. ἀλλ᾽ ὅτι καὶ ἐν τοῖς ἀδικηθεῖσι ταχθεῖεν ἄν.

Οὐχ